12 καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Ἵνα μὴ ἀκούσας, ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱὸν· ὁ θρόνος σου, ὁ θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ σύ, κύριε, κατ' ἀρχὰς τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

2 διὰ τοῦτο δεῖ περισσοτέρως προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσιν, μήποτε παραρυῶμεν. εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ πνεύματος ἁγίου μερισμοῖς κατὰ τὸ αὐτοῦ θέλημα.

5 οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. διεμαρτύρατο δέ πού τις λέγων· τί ἐστιν ἄνθρωπος ὅτι μιμνῄσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. ἐν τῷ γὰρ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

10 ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν· ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ· καὶ πάλιν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ ἔδωκέ μοι ὁ θεός.

14 ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

3 διόπερ ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν τοῦ οἴκου ἔχει ὁ κατασκευάσας αὐτόν. πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας θεός. καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων· Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ· οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐὰν τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν.

7 διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, 8 μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, 9 οὗ ἐπείρασαν οἱ πατέρες ὑμῶν ἐν δοκιμασίᾳ καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. 10 διὸ προσώχθισα τῇ γενεᾷ ταύτῃ καὶ εἶπον· ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· 11 ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. 12 βλέπετε, ἀδελφοί, μήποτε ἔσται ἐν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος· 13 ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας· 14 μέτοχοι γὰρ τοῦ Χριστοῦ γεγόναμεν, ἐὰν τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν· 15 ἐν τῷ λέγεσθαι· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ. 16 τίνες γὰρ ἀκούσαντες παρεπίκραναν; ἀλλ' οὐχὶ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως; 17 τίσιν δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα κατέπεσεν ἐν τῇ ἐρήμῳ; 18 τίσιν δὲ ὤμοσεν μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ εἰ μὴ τοῖς ἀπειθήσασιν; 19 καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν.

4 φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι· καὶ γὰρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασιν. εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτως· καὶ κατέπαυσεν ὁ θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ ἐν τούτῳ πάλιν· εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. ἐπεὶ οὖν ἀπολείπεται τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν, 7 πάλιν τινὰ ὁρίζει ἡμέραν σήμερον, ἐν Δαυὶδ λέγων μετὰ τοσοῦτον χρόνον καθὼς προείρηται· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. 8 εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. 9 ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ. 10 ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός. 11 σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.

12 ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· 13 καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ, κρατῶμεν τῆς ὁμολογίας· 15 οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. 16 προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

5 πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν· 2 μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· 3 καὶ διὰ ταύτην ὀφείλει καθὼς περὶ τοῦ λαοῦ οὕτως καὶ περὶ ἑαυτοῦ προσφέρειν περὶ ἁμαρτιῶν. 4 καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ θεοῦ καθάπερ καὶ Ἀαρών. 5 οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· 6 καθὼς καὶ ἐν ἑτέρῳ λέγει· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. 7 ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, 8 καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθεν τὴν ὑπακοήν· 9 καὶ τελειωθεὶς ἐγένετο πᾶσιν τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου, 10 προσαγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

11 περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. 12 καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινὰ τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ, καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς. 13 πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ ἐστιν· 14 τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

6 διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ θεόν, 2 βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν καὶ κρίματος αἰωνίου. 3 καὶ τοῦτο ποιήσομεν ἐάνπερ ἐπιτρέπῃ ὁ θεός. 4 ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου 5 καλόν τε γευσαμένους θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος 6 καὶ παραπεσόντας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας. 7 γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν καὶ τίκτουσα βοτάνην εὐθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ· 8 ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν.

9 πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείσσονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν· 10 οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες· 11 ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, 12 ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

13 τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ θεός, ἐπεὶ κατ' οὐδενὸς εἶχεν μείζονος ὀμόσαι, ὤμοσεν καθ' ἑαυτοῦ, 14 λέγων· εἰ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε. 15 καὶ οὕτως μακροθυμήσας ἐπέτυχεν τῆς ἐπαγγελίας. 16 ἄνθρωποι γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσιν, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος. 17 ἐν ᾧ περισσότερον βουλόμενος ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ ἐμεσίτευσεν ὅρκῳ, 18 ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος· 19 ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, 20 ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

7 ὁ γὰρ Μελχισεδὲκ οὗτος, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὃς συνήντησεν Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων καὶ εὐλόγησεν αὐτόν, 2 ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ, πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστιν βασιλεὺς εἰρήνης, 3 ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές.

4 θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. 5 καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστιν τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ· 6 ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκεν τὸν Ἀβραὰμ καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν. 7 χωρὶς δὲ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. 8 καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ. 9 καὶ ὡς ἔπος εἰπεῖν δι' Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται, 10 ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ Μελχισεδέκ.

11 εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευιτικῆς ἱερωσύνης ἦν, ὁ γὰρ λαὸς ἐπ' αὐτῇ νενομοθέτηται, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; 12 μετατιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται· 13 ἐφ' ὃν γὰρ λέγεται ταῦτα φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκεν τῷ θυσιαστηρίῳ· 14 πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν, εἰς ἣν φυλὴν περὶ ἱερωσύνης οὐδὲν Μωσῆς ἐλάλησεν.

15 καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, 16 ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης γέγονεν ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου· 17 μαρτυρεῖ γάρ· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. 18 ἀθέτησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές· 19 οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος· ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος δι' ἧς ἐγγίζομεν τῷ θεῷ.

20 καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας· οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, 21 ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς αὐτόν· ὤμοσεν κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. 22 κατὰ τοσοῦτο κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. 23 καὶ οἱ μὲν πλείονές εἰσιν γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν, 24 ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν ἱερωσύνην· 25 ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν.

26 τοιοῦτος γὰρ ἔπρεπεν ἡμῖν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, 27 ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην ὥσπερ οἱ ἀρχιερεῖς πρότερον ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. 28 ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ δὲ λόγος τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

8 κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, 2 τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ κύριος, οὐκ ἄνθρωπος. 3 πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἦν καὶ τοῦτον ἔχειν τι καὶ προσενέγκῃ. 4 εἰ μὲν οὖν ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἱερεὺς ἦν, ὄντων τῶν προσφερόντων κατὰ νόμον τὰ δῶρα, 5 οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσιν τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν· ὅρα γάρ, φησίν, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. 6 νυνὶ δὲ διαφορωτέρας τέτευχεν λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστιν διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

7 εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. 8 μεμφόμενος γὰρ αὐτοῖς λέγει· ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν, 9 οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει κύριος· 10 ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει κύριος· διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν· 11 καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων· γνῶθι τὸν κύριον, ὅτι πάντες εἰδήσουσίν με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν· 12 ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. 13 ἐν τῷ λέγειν καινὴν πεπαλαίωκεν τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.

9 εἶχεν μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας τό τε ἅγιον κοσμικόν. 2 σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια· 3 μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, 4 χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πανταχόθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθήκης, 5 ὑπεράνω δὲ αὐτῆς χερουβὶν δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ μέρος.

6 τούτων δὲ οὕτως κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, 7 εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων· 8 τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν, 9 ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, 10 μόνον ἐπὶ βρώμασιν καὶ πόμασιν καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώμασιν σαρκὸς μέχρι καιροῦ διορθώσεως ἐπικείμενα.

11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, 12 οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια αἰωνίαν

γου φησὶ τῶν λόγων, ἀλλὰ τοῦ ἓν τῇ Χαρίτι Χριστοῦ. οἰκότως. εἰ γὰρ ὁ θεὸς κόσμῳ ἦν, καὶ τὸν Ἰωλιτῶν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, πῶς ἕτερος μὲν εἰσέρχεται, ἀλλ' ἡ ἐν Χριστῷ; ἃ προσκινησάτωσαν αὐτῷ, φησὶ, πάντες ἄγγελοι Θεοῦ. ἐπιδείκνυμι μέγα τι καὶ ὑψηλὸν λέγειν μέλλων, προσκαταασκευάζει αὐτὸν καὶ πιστὸν ἀποδεικνύει, [ὃν τὸν πατέρα ποιήσας εἰσαγαγόντα τὸν υἱόν.] σκόπει δὲ· εἶπεν οἰκουμένην, ὅπου δὲ ἀγγέλων προσφυῶν ἐφάνησαν ἡμῖν, ἀλλὰ μόνον τοῦ υἱοῦ. ἔδοξεν ὅπου χρείαν ἔχειν ἀγγέλων ὁ υἱός, καὶ ἀπὸ τοῦ ὀνόματος ἢ τούτου καταασκευάσας, καὶ ἀπὸ τοῦ τὸν πατέρα ποιῆσαι εἰσάγοντα τὸν υἱόν. σὺ δὲ τὰ λοιπὰ, καὶ ἀφ' ἑτέρου κατασκευάζει. ποίου δὴ τούτου; ἀπὸ τῆς προσκυνήσεως. τοῦτο γὰρ ὅσῳ κρείττων ἐστὶ δείκνυσι· ὅσῳ γὰρ διαστάσης ἀλλήλων. διὰ καὶ ὡς ἂν εἴ τις εἰσαγάγοι πιὰ εἰς οἰκίαν βασιλέα, οὐδὲν προσέχεις αὐτῆς θύρας κελεύει προσκυνῆσαι αὐτῷ· οὕτω καὶ αὐτὸς πιστεύει τῷ τὸν κόσμον εἰσαγαγόντι, καὶ ὅτι, προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ, διὰ τοῦτο ἐπάγων. ἆρα οὖν ἀγγέλοι μόνοι, οὐχὶ καὶ ἄλλαι δυνάμεις; ἄπαγε. ἄκουσον γὰρ τοῦ ἑξῆς· καὶ πρὸς μὲν τοὺς ἀγγέλους αὐτὸς φησι, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱόν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἰδοὺ ἡ μεγίστη διαφορά· ὅτι μὲ κτίσμα, ὁ δὲ ἄκτιστος. καὶ διὰ τί πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, ὁ ποιῶν· πρὸς δὲ τὸν υἱὸν διὰ τί οὐκ εἶπεν, ὁ ποιῶν; κἀκεῖνοι τοίνυν τὴν διαφορὰν οὕτως εἰσῆλθον, πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ λέγει, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν υἱόν, Κύριος ἔκτισέ με, καὶ πάλιν, Κύριος ἀνέστησε καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν. ἀλλ' οὔτε ἐκεῖνο τοῦ Χριστοῦ Κυρίου υἱοῦ εἴρηται, οὔτε τοῦτο περὶ τοῦ Θεοῦ λόγου, ἀλλὰ περὶ τοῦ ἐν Χριστῷ*. ἐνθα γὰρ τὴν ἀληθῆ διαφορὰν ἠβούλετο δηλῶσαι, ἐκεῖνα ἀπέλιπε περιέλαβε μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν δύναμιν τὴν λειτουργικήν. ὁρᾷς πῶς διαιρεῖ, καὶ μὲν ὅσης τῆς σαφηνείας, κτίσματα καὶ κλητὰ, λειτουργικὰ καὶ διακονικὰ, καὶ κληρονομικὰ γένεσιν υἱοῦ δὲ δούλης; πρὸς δὲ τὸν υἱόν φησι, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἰδοὺ βασιλικὸν σύμβολον. ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ἰδοὺ πάλιν καὶ ἄλλο βασιλικὸν σύμβολον. εἶτα πάλιν εἰς ὃ κατὰ σάρκα·

9 Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου. Τί ὄφελος, Θεός σου; ὅπερ γὰρ μέγα ἐφθέγξατο, πάλιν αὐτὸ καταμιαίνεται. σὺ γοῦν θαυμάζεις καὶ Ἰουδαίους, καὶ τὸν Παῦλον τὸν Σαμοσατέως, καὶ Ἀρειομανίτας, καὶ Μαρκελλον, καὶ Σαβέλλιον καὶ Γαλάτας, καὶ Μαρκίωνα. πῶς; Ἰουδαίους μὲν, δύο τὸν αὐτὸν δόξαντες, καὶ Θεὸν, καὶ ἄνθρωπον. τοὺς δὲ ἄλλους, τοὺς Παύλου λέγω τοῦ Σαμοσατέως, τῷ φάναι τῆς αἰωνίου καὶ ἀρχῆς τοῦτο ἀφῃρῆσθαι, καὶ τῆς ἀκτίστου οὐσίας. πρὸς γὰρ αἱρετιζόμενον τοῦτο, ἐποίησε, φησὶ, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τίθησι. πρὸς τὸν Ἀρειανοὺς, τοῦτο τὸν αὐτὸ πάλιν, καὶ ὅλη οὐ δοῦλος. εἰ δὲ κτίσμα, δοῦλος. πρὸς δὲ Μαρκέλλου καὶ τοὺς ἄλλους, ὅλη δύο ὄντα τὰ πρόσωπα διηρημένα καὶ τὴν ὑπόστασιν. πρὸς δὲ Μαρκιωνιστὰς, ὅπου ἡ θεότης ἀνείπατο, ἀλλ' ἡ ἀνθρωπότης. εἶτα, Παρὰ τοὺς μετόχους σου, φησί.

Τίνες δέ εἰσι μέτοχοι, ἀλλ' ἢ μέτοχοι ἀνθρώπου; τυπτέσι, ὁ πνεῦμα σὰρξ ἐκ μέρους ἔλαβεν ὁ Χριστός. ὁρᾷς πῶς σωφρονεῖ ἀεὶ τῷ περὶ τῆς ἀκτίστου φύσεως, καὶ τὸ περὶ τῆς οἰκονομίας λόγου; ἵνα τοῦτο σαφέστερον; εἶδες πῶς σὰρξ ἔσχε ὁ λόγος, κτίσμα καὶ γέννημα; οὐ γὰρ ἀπλῶς, καὶ πρὸς αἱρετιζόμενον τοῦτο ἐποίησε, ἐπήγαγε ὅ, πρὸς ὃν μὲν εἶπεν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, οὐκ ἂν διέφορώτερον ὅτομα ἐκάλει ὁ υἱὸς ὅτομα, εἰ τοῦ αὐτοῦ ἰῶ σημαῖνον. ποῖον γὰρ ὃ διαφέρει; εἰ γὰρ ὃ κτίσμα καὶ γέννημα, ταὐτὸν, ἐκφωνοῦσ' ἐπειδήπερ, τί τὸ διαφορώτερον; ἰδοὺ πάλιν τὸ, ὁ Θεὸς, μετὰ τοῦ ἀνθρώπου. καὶ πάλιν φησὶ,

10 Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶ οἱ οὐρανοί.

11 Αὐτοὶ

χ. περὶ ματος.

χ. ἐπὶ τὸν

χ. ἀμφίπεζ

χ. βάλλω λογίσα

χ. ἀθ, ἰδὶ κόσμα· φὴ

χ. εἰκονίζο

χ. πρὸ

βῦρες ἐμπεπλησμένα τῷ δισμωτήρια. ἀλλὰ ιζ τῷ ἄλλων καὶ τοῦτο ἔχῃ κακόν ὁ σλῦτος, ὅτι ἐν ποιηείᾳ ἀπμωρπὶ σλημμέλωδι ὁ τῦτον κεκτημένος, οὐδὲ ποτε φησὶ τῦτο ποιῶν, ἀλλὰ λήψεται τραύματα δύο Φαρμάκων, καὶ χάριτι οὐδεὶς ὅστις θήσει αὐτῷ. Εἰ δὲ βούλεσθε ὑμᾶς, καὶ τοῖς ἡδονῇ βίοις τῶν πενίαν πλείους πρέχουσαι ἡμῖν τοῖς ἀφορμας· πῶς; ὅτι φροντίδων ἀπαλλακται, μίσους, μάχης, φιλονεικίας, ἔριδος, μυρίων δ' ἄλλων. μὴ τοίνυν διώκωμεν ὃ πλῦτῳ, μηδὲ τῦτους ζηλώσωμεν ἀεὶ τοῦ πολλὰ κεκτημένους· ἀλλ' ⓐ μὲν ἔχοντες, εἰς δίον τῷ πλῦτῳ χρώμεθα· ⓐ δὲ μὴ ἔχοντες, μὴ ἀλγῶμεν διὰ τῦτο, ἀλλ' βοηθεισῶμεν ὑπὲρ ἁπάντων τῷ Θεῷ, ὅτι ἡμᾶς ὀλίγῳ πόνῳ ⓦ αὐτοὺς τοὺς πλῦσίους ἢ καὶ μείζονα, δι' θέλωμεν, ἐργασκυάζει μισθὸν λαβεῖν. καὶ ὀλίγων μεγάλα κερδήσωμεν. ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα πεποιηκὼς, ἐθαυμάσθη, καὶ ἐπμήθη ὁμοίως τῷ τὰ πέντε πεποιηκότι. τί δήποτε; ὅτι εἰ καὶ δύο ὅστις θήσει τάλαντα, ἀλλὰ τὰ πρὸ ἑαυτῷ πάντα ἐπλήρωσε, καὶ τὰ ἐμπιστευθέντα διπλᾶ εἰσήνεγκε. τί τοίνυν ἀπεύδωμεν πιστευθῆναι πολλά, ὅταν ὀλίγα τὰ αὐτὰ κερδῶσαι θαι, καὶ πλείονα; ὅταν ὁ μὲν πόνος ἐλάττων ᾖ, ὁ δὲ μισθὸς πολλῷ πλείων; εὐχολώτερον γὰρ πένης ἐκρήσεται τῷ αὐτῷ, ἢ πλῦσιος πολλὰ καὶ μεγάλα κεκτημένος. ἢ οὐκ ἴσθ, ὅτι ὅσῳ μὲν πλείονά τις ἐμβάλῃ, τοσῦτῳ καὶ ὀνειδίζει ἀεί; ἵν' οὖν μὴ τῦτο πάθωμεν, μὴ ζητῶμεν πλῦτον, μηδὲ δυσαναχέτως ἔχωμεν πρὸς τὴν πενίαν, μηδὲ απεύδωμεν πλῦτῳ, ἀλλὰ καὶ ⓐ ἔχοντες ὥστε αὐτῷ χρώμεθα, ὡς ὁ Παῦλος ἐκέλευσεν (Οἱ ἔχοντες, φησὶν, ὡς μὴ ἔχοντες, καὶ ⓐ χρώμενοι τῷ κόσμῳ τῦτῳ, ὡς μὴ καταχρώμενοι) ἵνα τύχωμεν τῶν ἐπηγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. χρησώμεθα

χ. δυσαναχετῶμεν

χ. ἀπευδῶμεν

α. Κορ. ζ. κθ. λα.

Λογ. γ. 6 ΟΤΑΝ ΔΕ ΠΑΛΙΝ ΕΙΣΑΓΑΓΗ ΤΟΝ ΠΡΩΤΟΤΟΚΟΝ εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. 7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· 8 Πρὸς δὲ τὸν Υἱὸν, Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ματθ. ιγ γ. Ισαι. ιε. κα.

χ. τῦτο

χ. εἰσάγει,

χ. παρεγενόμην πρὸ παρελαμβανόμην καὶ κτίσ.

Ὁ μὲν Κύριος ἡμῶν Ιησοῦς Χριστὸς τὴν πρόσοισαν αὐτοῦ τὴν ἔνσαρκον, ἔξοδον καλῶς· οὕτως ὅταν λέγῃ, Ἐξῆλθον ὁ σπείρων τοῦ σπεῖραι, καὶ πάλιν, Ἐγὼ οὐκ οἶδα πόθεν ἐξῆλθον, καὶ ἥκω. καὶ πολλαχοῦ τῦτον ἴδοις τις ἄν. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν καλῶς λέγων, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, Εἰσαγωγὴν αὐτὴν λέγων τὴν ἐκ σαρκὸς ἀναλῦσιν. τί δήποτε δὲ ἐκεῖ αὐτὸν διαφόρως καλῶν κέχρηται, καὶ τί τὸ οὕτως εἰρῆσθαι; δῆλόν ἐστι καὶ ἀπ' αὐτῆς τῆς σημασιολογίας. ὁ μὲν γὰρ Χριστὸς ἔξοδον τὴν ἑαυτοῦ πρόοσιν εἰκότως καλῶς· ἔξω γὰρ ἦμεν τοῦ Θεοῦ. καὶ καθάπερ οἱ τοὺς βασιλείους, ⓐ δεσμῶται, καὶ προσκεκρουκότες τῷ βασιλεῖ, ἔξω εἶναι φασιν, ὃν βουλόμενος αὐτὸν καταλλάξαι, οὐκ εἴασε τῦτον εἰσάγειν, ἀλλ' αὐτὸς ἄξιον ἔξω τῦτοις διαλέγεται, ἕως ἂν αὐτὸν καταπείσας ἄξιον τῆς ἔνδον τοῦ βασιλέως εἰσαγωγῆς· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐλθὼν γὰρ πρὸς ἡμᾶς, τυπτόμενος, Σαρκὶ ἀναλῦθείς, καὶ διαλεχθεὶς τοῖς τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καθαρίσας τῷ ἁμαρτημάτων, καὶ καταλλάξας. διὰ τῦτο ἔξοδον αὐτὴν καλῶς. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν οἰκειοῦται, διὰ μετοφορᾶς τῆς ἐκκλησιομαχούσης, καὶ ὁμιλούσης τοῖς ἀμαρτάνουσι καὶ κτίσεσι πᾶσι. τὸ γὰρ εἰπεῖν, ὅταν δὲ πάλιν εἰσαγάγῃ ⓦ πρωτότοκον εἰς τὴν οἰκουμένην, τῦτο ἔστι δηλοῦντος, ὅταν ἐγκλείσῃ αὐτὸν τὴν οἰκουμένην. τότε γὰρ αὐτὴν ἔκτισε τὸ πᾶσαι, ὅτε καὶ ἐγνώσθη. οὐ πρὶν τὸ Θεοῦ δὲ λό-

γα. Βεβχὺς γὰρ ὁ πλοῦτος καὶ ἐς τοὺς ἔχοντας τοῦτον ἀπιθυτήτους. μέγα φρονεῖς, ἄν-
θρωπε, ὅτι πλουτεῖς; πόθεν ἔνεστι; τῶν γὰρ ἐκλήπτεις ἢ ἁρπάζεις ἢ κλέπτεις, καὶ ἀνάρ-
φονος, καὶ μαλακὸς, καὶ πόρνος, καὶ πάσης ἀπονενοημένος. ἀλλὰ τί σὺν μέγα φρονεῖς; Εἰ μὲν γὰρ
εἰς δέον αὐτὰ κέχρησαι, οὐκ ὀφείλεις μέγα φρονεῖν, ἵνα μὴ λυμήνῃ τὸν ἔπαινον· εἰ δὲ
οὐκ εἰς δέον, τοσούτῳ μᾶλλον συγκλείεσθαι σε, ὅτι δοῦλος γέγονας τῶν χρημάτων καὶ κτη-
μάτων, καὶ κεκτημένος αὐτῶν. Εἰπὲ γάρ μοι, εἴ τις πυρέττων ὕδωρ οὐκ ἐθέλοι πιεῖν, ὃ τοῖς
βεβαίως ὑγιαίνουσι τοῦτο δίψαι, ὅταν δὲ καὶ ἀπόπληκτον τὸν φλέγμα, μέγα ὀφείλει φρονεῖν; τί δὲ
εἴ τις πλείονα φρενῖτιν εἶχεν, ἆρα τοῦτο ὀφείλει μέγα φρονεῖν; ἀλλὰ τί, εἶπέ μοι, ὅτῳ πολ- χ. πολέων
λοὺς ἔχει; διαπονεῖται; ὅτῳ μυρίας μερίμνας; ὅτῳ κολακεύουσι οἱ πολλοί; ἀλλὰ τοῦτο χ. ἐγὼ δὲ δου-
δουλεύει ὄντι. ἐγὼ ἵνα μάθῃς ὅτι δουλεύεις αὐτοῖς, ἄκουε [σαφῶς]. Τὰ ἄλλα τῶν παθῶν τῶν λάσεις αὐτούς.
Σαρ. α. ιβ. ἐμῶν, ὅστις ἐστὶ χρήσιμα ὅσιν. οἷς ἡ ὀργὴ πολλαχοῦ χρήσιμον. Θυμὸς γάρ, φησὶν, ἀδί- χ. διὰ τοῦτο ἡ σοφὸς πεῖθε,
Ματθ. ε. κε. κως οὐκ ἀγωνιεῖται· ὥστε ὅστις ἐστὶ δικαίως θυμωθείη. ἐγὼ πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελ- θυμὸν εἶναι.
φῷ αὐτοῦ ἔνοχος ἔσται τῇ γεέννῃ. πάλιν ὁ ζῆλος καλὸν, ἐγὼ ἡ ἐπιθυμία· ἡ μὲν, ὅταν εἰς
παιδοποιΐαν γίνῃ, ὁ δὲ, ὅταν τοὺς τὰ καλὰ τῶν μὴ μισῇ ἔχῃ. ὥσπερ καὶ Παῦλος λέ- χ. τὸν ζῆλον
Γαλατ. δ. ιη. γει, Καλὸν δὲ ὁ ζηλοῦσθαι ἐν καλῷ πάντοτε· ἐγὼ πάλιν, Ζηλοῦτε τὰ χείσσονα τὰ κρείττονα.
α Κορ. ιβ. λα. ὥστε ἀμφοτέρων χρήσιμα. ἡ μὲν ἀπιστία οὐδαμοῦ καλὸν, ἀλλ' ἀεὶ πάντα χοῦ ἄγχουσι καὶ
βλάπτει. πλὴν εἰ δεῖ μέγα φρονεῖν, ὅτι πιστὸς, οὐχ ὅτι πλούτου δεῖ. ἀλλὰ τί; ὅτι ὁ ἐν
ὀλίγοις ζημιωθεὶς δικαίως, τοῦ μὴ δικαίως τοῦ πολλῷ μείζονος καὶ κρείττονος ὄντος. Εἰπὲ γάρ μοι,
εἴ κληθέντων εἰς βασιλικὸν πάλιν πάντων, ἐγὼ μὲν αὐτοῦ μήτε ὑποζυγίων δέοιτο, μήτε
ἁρπαγῆς, μήτε σκιαδίων, μήτε καταγωγίων, μήτε ὑποδημάτων, μήτε σκευῆς, ἀλλ' ἀπό-
χρη αὐτοῖς αὐτὴν μόνον ἔχειν, ὕδωρ οὐκ τῶν πηγῶν λαμβάνειν, σκῆπτρον δὲ λέγειν ὅπου ἐάν μὴ
ᾖ χίματα δῶσι· καὶ χρυσίου καὶ πάλιν, οὐ δικαίως καταγνωσθησόμεθα, ἐὰν μὴ καὶ πολλοὺς
ἔχωμεν τοὺς ἀκολουθοῦντας, ἐὰν μὴ συνεχῶς ὀζῇ ἄλγια παύεσθαι, οὐ δικαίως, ἐὰν μὴ
ὑποζυγίοις χρώμεθα, καὶ μικρὸν ὀδύνωμαι τῆς ἡμέρας μέρος, ἀλλ' ὅλην καὶ ἑτέ- χ. χρυσούμεθα,
ρων πλείονων· τίνας αἰτιασόμεθα; ἑαυτούς, ἢ τούτους; δῆλον ὅτι τούτους τοὺς τοιούτους δι- ἐὰν μὴ ᾖ
μόνους. ὅταν δὲ καὶ σὺ ταῦτα, ἐγὼ μὲν τοὺς τὴν ὁδὸν τοῦ βίου ταύτην πολλῶν δέονται, ἐγὼ δὲ
τοιούτους. ὥστε τοῦτο ἐπὶ πλέον μᾶλλον ἔχειν μέγα φρονεῖν, εἶπε καὶ ἔχειν. ἀλλ' εὐκατα-
φρόνητός ἐστιν ὁ πένης, φησίν. οὐκ ἔγωγε, ἀλλ' ἐγὼ τούτου καταφρονοῦντες. ἀλλὰ τί γὰρ ἐγὼ
μὴ καταφρονῶ τῶν οὐκ εἰδότων θαυμάζειν ἃ χρή; ἀλλ' ὥσπερ ζωγράφος ἢ ἄλλος, πάντων
καταγελάσεται τῶν σκιαπλάστων αὐτοῦ, ἕως ἂν ὦσιν ἀμαθεῖς, ἐγὼ δ' ὅτι τοὺς τὰ πρὸς ἀνίσων χ. -σθῆς τί
λεγόμενα ὑπομένω, ἀλλὰ τῇ ἑαυτοῦ ἐρχθῇ μαρτυρίᾳ· ἡμῖν γὰρ τῆς τῶν πολλῶν δό- λέγω τοῦτο;
ξης ἀφαρτήσομεν ἑαυτούς; ἐγὼ ποῦ ταῦτα συγκρίνομαι ἄξια; ἀλλὰ τοῦτό ἐσμεν ἄξιοι καταφρο- χ. ἀκίξηται-
νεῖσθαι, ὅτι τῶν καταφρονούντων ἡμῶν ἀλλὰ τὸν πένητα μὴ καταφρονῶμεν, μηδὲ καλαπίζωμεν αὐτούς. καὶ παύσωμαι ὅσα μὲν ἁμαρτήματα ἀπὸ τοῦ πλούτου πίπτεται, ὅσα δὲ
ἀγαθὰ ἀπὸ τῆς πενίας. μᾶλλον γὰρ, οὐδὲ πλοῦτος, οὐδὲ πενία καθ' ἑαυτὸ καλὸν, ἀλλὰ χ. τὸ
τοῦτο τοῖς χρωμένοις τούτοις γίνεται. ὁ γνήσιος [δόκιμος] ὁ πένης μᾶλλον ἀναφαίνεται, ἢ ὁ τὸν πλοῦτον. πῶς; ὁ πένης μὲν γὰρ ὢν ἀτυφότερος ἔσται, σωφρονέστερος, σεμνότε-
ρος, ἐπιεικέστερος, συνετώτερος· ὁ δὲ πλοῦτον δὲ μόνον, πολλὰ τοῖς τοῦτο ἕπεται κακὰ κωλύματα. ἴδωμεν οὖν τίνα ἐστὶν ἃ ὁ πλούσιος ἐργάζεται, μᾶλλον δὲ ὁ κακῶς τὸν πλού-
τον κεχρημένος. ἁρπάζει, πλεονέκτης, βιάζεται. τί δαί; τοὺς * ἑρωτᾷς τοὺς ἀπό- 40* ἡ
πους, τοὺς ἀθλίους μίξεις, τοὺς ἰχθῦς, τοὺς φαρμακέας, τὰ ἄλλα πάντα δῆτα; οὐκ ἀπὸ χ. σοῦς,
τοῦ πλούτου θυρσοῦ ταῦτα; ὁρᾷς ὅτι ὁ πένης μᾶλλον ἀνεπαίσχυντός ἐστιν, ἢ ὁ πλούτου χ. ἐυκολόπ-
τοῦ ἀρετὴν μετέχων; μὴ γάρ μοι, ὅτῳ δίκαιον ἐστὶ διδόναι τοῦτο τοῦτο, τοὺς πλουσίους, τοιούτους
αὐτοὺς μηδὲ ἁμαρτάνειν. ὡς εἶναι ἐν ὀλίγοις πλουσίους δίκαιον διδόναι, οὐκ ταῦτα δὲ

ὄντας

τὸν περὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως λόγον ἐπήγαγε. καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν ἄφατον. οὐκ εἶπεν, ἐκελεύσθη καθίσαι· ἀλλ', ἐκάθισεν. εἶτα πάλιν, ἵνα μὴ νομίσῃς αὐτὸν ἑστάναι, ἐπάγει, Τίνι γὰρ τῶν ἀγγέλων εἶπέ ποτε, κάθου ἐκ δεξιῶν μου;

Ἐκάθισε, φησὶν, ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. τί ἐστιν, ἐν ὑψηλοῖς; εἰς τόπον περικλείει τὸν Θεόν; ἄπαγε· οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν, οὕτως εἴρηκεν. ἀλλ' ὥσπερ εἰπὼν, ἐν δεξιᾷ, οὐκ ἐσχημάτισεν αὐτὸν, ἀλλὰ τὸ ὁμότιμον ἔδειξε τὸ πρὸς τὸν πατέρα· οὕτως εἰπὼν, ἐν ὑψηλοῖς, οὐκ ἀπέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ πάντων ἔδειξεν ὑψηλότερον, καὶ πάντα ὑπερβεβηκότα. ὥστε καὶ ἔλεγεν, εἰς αὐτὸν ἔφθασε τὸν θρόνον τὸν πατρικόν. ὥσπερ οὖν ὁ πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός. ἡ γὰρ συνεδρία οὐδὲν ἕτερον δηλοῖ, ἢ τὸ ὁμότιμον. εἰ δὲ λέγουσιν, ὅτι εἶπε, κάθου, ἐρώμεθα αὐτοὺς, τί οὖν; ἑστῶτι εἶπεν; ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι. ἄλλως δὲ οὐκ εἶπεν, ὅτι ἐκέλευσεν, ἢ προσέταξεν, ἀλλ' ὅτι εἶπε [κάθου]· καὶ τοῦτο δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἄναρχον αὐτὸν νομίσῃς καὶ ἀναίτιον. ὅτι γὰρ διὰ τοῦτο οὕτως εἴρηκε, δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας. εἰ γὰρ ἐλάττωσιν ἤθελε δηλῶσαι, οὐκ ἂν εἶπεν, ἐκ δεξιῶν, ἀλλ' ἐξ ἀριστερῶν.

γρ. τὸν πατρικὸν αὐτόν

4 Τοσούτῳ κρείττων γενόμενος, φησὶν, ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τὸ, γενόμενος, ἐνταῦθα ἀντὶ τοῦ, ἀποδειχθεὶς, ὡς ἂν εἴποι τις, ἐστίν. εἶτα καὶ διισχυρίζεται. πόθεν; ἀπὸ τοῦ ὀνόματος. ὁρᾷς ὅτι οἶδε τὸ, υἱὸς, ὄνομα τὴν γνησιότητα δηλοῦν; καὶ μὴν εἰ μὴ γνήσιος * ἦν, οὐκ ἂν τοῦτο εἶπε. πῶς; ὅτι δι' οὐδὲν ἕτερον γνήσιός ἐστιν, ἀλλ' ἢ τὸ ἐξ αὐτοῦ εἶναι. ἀπὸ τούτου τοίνυν ἰσχυρίζεται. εἰ δὲ χάριτι ἐστὶν υἱὸς, οὐ μόνον οὐ διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶν ἀγγέλων. πῶς; ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοί· καὶ τὸ, υἱὸς, ὄνομα, ἂν μὴ γνήσιος ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ διάφορον. καὶ δηλῶν ὅτι διαφορά τις ἐστὶ κτίσματος καὶ δημιουργοῦ, ἄκουσον τί φησι·

γρ. ἦν ὁ υἱὸς (γνήσιος δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐξ αὐτοῦ) πῶς ἀπὸ τούτου ἰσχυρίζεται; εἰ γὰρ χάριτι ἐστὶν υἱός

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; Ταῦτα εἴρηται μὲν καὶ εἰς τὴν σάρκα. τὸ γὰρ, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱὸν, τῆς ἐνανθρωπήσεώς ἐστι παραστατικόν· τὸ δὲ, υἱός μου εἶ σὺ, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἐξ αὐτοῦ ἐστιν. ὥσπερ δὲ, ὢν, λέγεται ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ (τοῦτο γὰρ μάλιστα ἁρμόζει αὐτῷ) οὕτω καὶ τὸ, σήμερον, * ἐνταῦθά μοι δοκεῖ εἰς τὴν σάρκα εἰρῆσθαι. ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται. καὶ γὰρ ἡ σὰρξ κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπερ οὖν καὶ ἡ θεότης τῶν ταπεινῶν. ὁ Θεὸς γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας, καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο;

γρ. τὸ (ἐγὼ σήμερον γεγέννηκά σε)

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, μηδὲν ἐπαισχυνώμεθα, μὴ μέγα φρονῶμεν. εἰ γὰρ αὐτὸς Θεὸς ὢν, καὶ δεσπότης, καὶ Θεοῦ υἱὸς, οὐ παρῃτήσατο μορφὴν δούλου λαβεῖν· πολλῷ μᾶλλον ἡμᾶς ἅπαντα δεῖ ποιεῖν, κἂν ταπεινὰ ᾖ. πόθεν γὰρ, εἰπέ μοι, ἄνθρωπε, μέγα φρονεῖς; ἀπὸ τῶν βιωτικῶν; ἀλλὰ ταῦτα πρὶν ἢ φανῆναι παρατρέχει. ἀλλ' ἀπὸ τῶν πνευματικῶν; ἀλλ' ἓν καὶ τοῦτό ἐστι κατόρθωμα πνευματικὸν, τὸ μὴ μέγα φρονεῖν. διὰ τί τοίνυν μέγα φρονεῖς; ὅτι κατορθοῖς; ἄκουσον τοῦ Χριστοῦ λέγοντος, Ὅταν ποιήσητε πάντα, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Λουκ. ιζ. ι. ἀλλὰ διὰ τὸν πλοῦτον μέγα φρονεῖς; διὰ τί, εἰπέ μοι; οὐκ ἤκουσας ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν βίον, γυμνοὶ καὶ ἀπελευσόμεθα; μᾶλλον δὲ, οὐχ ὁρᾷς τοὺς πρὸ σοῦ ἐρήμους καὶ γυμνοὺς ἀπελθόντας; τίς τὰ ἀλλότρια ἔχων μέγα φρονεῖ; οἱ γὰρ βουλόμενοι αὐτοῖς χρῆσθαι εἰς οἰκείαν μόνην ἀπόλαυσιν, ἀφαιροῦνται αὐτὰ καὶ ἄκοντες, καὶ πρὸ μὲν τῆς τελευτῆς πολλάκις, ἐν δὲ τῇ τελευτῇ πάντως. ἀλλ' ἡμεῖς ζῶντες αὐτοῖς, φησὶν, ὡς βουλόμεθα, χρώμεθα. μάλιστα μὲν οὐδένα ἂν τις ἴδοι ταχέως, ὡς βούλεται, τοῖς οὖσι χρώμενον. Εἰ δέ τις καὶ χρῷτο ὡς βούλεται, οὐδὲ τοῦτο μέγα.

γρ. οὐδ' ἂν τύπ. Ερ.

κέχρηται, οὐδαμοῦ τῆς ὑσίας αὐτῆς ὄνομα θύρων. οὔτε γὰρ ἡ μεγαλωσύνη, οὔτε ἡ δόξα ὃ ὄνομα "προφήσιν, ὁ βούλεται εἰπεῖν, ἀλλ' ὅτε ἔχει ὄνομα θύρας. τοῦτο [γὰρ] ὅτιν ὁ ἔλεγεν ἐξ ἀρχῆς; ὅτι πολλάκις πεπαύσωμαι, ἡ οὐ δυνάμεθα φέρειν· ἐπεὶ οὐδὲ ὁ, Θεός, ὄνομα οὐσίας ὅτιν, οὐδὲ ὅτιν ὅλως τῆς οὐσίας σημαίνει ὄνομα θύρας. ἐπὶ τί θαυμαστὸν εἰ ὅτι Θεοῦ, ὅπου γε οὐδὲ ὅτι ἀγγέλων θύρας εἰσὶ ὄνομα τῆς οὐσίας δηλωτικόν; πάχα γὰρ οὐδὲ ὅτι ψυχῆς. οὐ γὰρ μοι δοκεῖ τοῦτο ὄνομα προσηκτικὸν εἶναι τῆς οὐσίας αὐτῆς, ἀλλὰ τῆς ψυχῆς. τὸ γὰρ αὐτεξούσιον, ἡ ψυχικὸν, ἡ καρδίαν, καὶ τοιοῦτον κεκτημένην ἰδοὶ πᾶς ἄν. Καρδίαν γάρ, φησι, καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. οὐ μόνον γὰρ ἔχουσι, ἀλλὰ καὶ πνεῦμα [παλαχοῦ] ἰδοὶ πᾶς ἄν λεγομένου αὐτοῦ. φέρων τε τὰ πρόσωπα τῶν ῥημάτων τῆς δυνάμεως αὐτοῦ. ὁρᾶς τί φησι; πῶς δῶν, εἰπέ μοι, λέγεις, αἱρετικέ, ἀφ' οὗ λέγεσθαι προσῆκε τῇ γραφῇ, Εἶπεν ὁ Θεός, γενηθήτω φῶς, ὅπου ὁ πατὴρ ἐπέταξεν, ὁ δὲ υἱὸς ἐπήκουσεν; [ἀλλ'] ἰδοὺ καὶ σὺ θαυμάζεις ῥήμασιν αὐτοὺς πιστῶν. φέρων τε γάρ, φησι, καὶ πρόσωπα· τουτέστι, κωφερικῶν, τὰ ἀφανίστατα συγκεκτημένον. τὸν γὰρ ποιήσαντα τὸν κόσμον οὐχ ὁρᾶσι ὅτι ὁ συγκεκτηκὼς· ἀλλ' (εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν) καὶ μεῖζον. ὁ μὲν γὰρ, ἐξ οὐκ ὄντων ὅτι τι προσήγαγε· ὁ δὲ, τὰ γεγενημένα εἰς ὃ μὴ ἦν μέλλοντα διαχωρῆσαι, συνέσχε τε καὶ συνανέπλεξε πρὸς ἄλληλα ἀφανισθέντα. τοῦτο ἐστὶ μέγα καὶ θαυμαστὸν, καὶ πολλῆς δυνάμεως τεκμήριον. εἶτα ἵνα ὁ διάβολος δηλωθῇ, εἰπέ, φέρων (οὐκ εἰπέ, κωφερικῶν) ἀπὸ μεταφορᾶς τῶν [ἀπλῶν] τοῦ δακτύλου τὰ ποιούμενα, καὶ ποιούμενον "ἀναφέρεσθαι. ὁ γοῦν θεὸς καὶ ὁ ὄγκος τῆς κτίσεως ἐδήλωσε μέγεθος ὄντα, ἃ ὃ μέγα οὐδὲν αὐτοῦ ὤν. εἶτα πάλιν ὃ ἀπόστολος δύκησιν, εἰπών, τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. καλῶς εἶπε, ὃ ῥήματι. ὅπερ γὰρ ὃ ῥῆμα πρὸς ἡμᾶς ψιλὸν εἶναι δοκεῖ, δύκησιν ὅτι οὐκ ἔστι ψιλὸν ὅτι Θεοῦ. ἀλλ' ὅτι μὲν ὃ ῥήματι φέρει, εἶπε· ὃ δὲ πῶς [ὃ ῥήμα τι φέρει], οὐκέτι προσέθηκεν· οὐδὲ γὰρ δυνατὸν εἰδέναι. εἶτα ἐπήγαγε τὸ τῆς μεγαλειότητος αὐτοῦ. οὕτω γὰρ ἡ ὁ Ἰωάννης πεποίηκεν. εἰπὼν γὰρ ὅτι Θεός ὅστιν, ἐπήγαγε τῆς κτίσεως τὸν δημιουργόν. ὅπερ γὰρ ἑκάστος πέπεικεν εἶπεν. Ἐν ἀρχῇ ἦν ὁ λόγος, ἡ πάντα δι' αὐτοῦ ἐγένετο, τοῦτο ἡ ζωὴ ἦν τὸ ῥήματος, ἡ τὸ εἶπεν, δι' οὗ ἡ σὺν αἰῶσιν ἐποίησεν, εἰσέφησε. ἡ γὰρ ἡ δημιουργὸν, καὶ πρὸ πάντων ὄντα τῶν αἰώνων αὐτὸν δείκνυσι. τί οὖν*, ὅταν πρὸ τοῦ τὰ ἄνω μὲν λέγῃ ὁ προφήτης, Ἀπὸ τοῦ αἰῶνος ἡ ἕως τοῦ αἰῶνος σὺ εἶ· πρὸ δὲ τοῦ γοῦ, ὅτι πρὸ πάντων ὅστι τῶν αἰώνων, ἡ τῶν ἀπάντων δημιουργός, τί ἂν εἴποιεν; μᾶλλον ἢ "ὅπερ πρὸ τοῦ τὰ ἄνω ἐλέγετο, ὁ "καταρχὴν πρὸ τῶν αἰώνων, τοῦτο καὶ πρὸ τοῦ γοῦ ἴδοι τις ἂν Εἰρημένον· ἡ ὥσπερ ἑκάστος φησι, ζωὴ ἐστὶν, ὃ ἑκάστης τῆς κτίσεως δηλοῖ, οὐ πάντων αὐτὸς ὅστι ἡ ζωή· οὕτω ἡ ὅστι φησι, φέρων τε τὰ πρόσωπα ὃ ῥήματι τῆς δυνάμεως αὐτοῦ· οὐ καθάπερ Ἕλληνες, ἡ τῆς δημιουργίας αὐτῆς, τὴν εἰς αὐτὸν ἦκον, ἀποστερούντες αὐτὸν, ἡ τῆς προνοίας μέρει σπιλοῦντες συγκλείοντες αὐτὸν τῷ δυνάμει. δι' ἑαυτῆς γάρ, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν. εἶπεν πρὸ τῶν θαυμαστῶν ἔργων ἡ μεγάλων, τῶν "ἀοράτων, λέγει λοιπὸν ἡ πρὸ τῆς εἰς αὐτὸν θεότητος αὐτοῦ κηδεμονίας. μάλιστα μὲν γὰρ ἡ ἑκάστος καθολικὸν ἐστὶν, ὃ, φέρων τε τὰ πρόσωπα· πλεῖόν ἄλλα τοῦτο πολλῷ μεῖζον. ἡ τοῦτο ἡ καθολικόν. ὃ γὰρ αὐτὸ μέγας "πρόσωπα ἔσωσεν. ἐπεὶ ἡ ὁ Ἰωάννης εἶπεν, ζωὴ ἦν, ἡ τὸν προσοικοῦντα αὐτὸν δηλώσας, πάλιν "λέγει, ὅτι καὶ φῶς, ὃ αὐτὸ τοῦτο δηλοῖ. δι' ἑαυτῆς, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἑκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. δύο τίθησιν ὁ Παῦλος τῆς κηδεμονίας αὐτοῦ τεκμήρια μείζονα· τό τε καθαρίσαι τῶν ἁμαρτιῶν ἡμᾶς, ἡ ὃ δι' ἑαυτῆς τοῦτο ποιῆσαι. καὶ πολλαχοῦ ὁρᾶς αὐτὸν ὅτι τούτῳ σεμνυνόμενον, οὐ μόνον ὅτι τῇ κατὰ σάρκα τῇ πρὸς Θεὸν, ἀλλὰ ὃ ὅτι τῷ ἀφ' ἑαυτοῦ τοῦτο γεγενῆσθαι. ἡ γὰρ "οὕτω ὃ μέγα δῶρον μεῖζον γεγένηται, [ὃ] ἀφ' ἑαυτοῦ τοῦ γοῦ. ἐπεὶ, ἑκάθισεν ἐν δεξιᾷ, ἡ, καθαρισμὸν δι' ἑαυτῆς ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἀναμείνας τὸν καιρόν, ταχέως

Ψαλμ. ρ ιδ. Γαλ. α. γ. Ἰωαν. α. α. Ψαλμ. πδ. β.

χ. - σπ. ἐφ. βάλλ. ! χ. φέρειν

χ. φέρειν

χ. - τον

χ. ἵνα ὁ θεὸς

χ. πάντες δάνδοσπ. χ. -γαι, ἡ ὑπὸ ἰω. δι'

χ. ὅτι πᾶς μέγα τὸ δῶρον· ἡ μεῖζον γεγένηται. χ. τὸ

ὑὸς εἰς δ. ἀδελφοκτονῶν τὰ πρῶτα. ἡ ὅλη τοίνυν ἐστὶν, ὅσα πῶς πάλιν ἐκ τοῦ ἰδίου δίδωσιν αὐτῷ τὴν αὐθεντίαν, ἐξ ὧν, δι' οὗ, ἔζηλωσεν. ἐπεὶ γὰρ εἰρήκασιν δι' αὐτὸν ὁ Θεὸς, λοιπὸν ἀπὸ τῆς ἀπ' αὐτοῦ, τί φησι; Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. οὐδαμοῦ δὲ, δι' οὗ, οὐδὲ ὅλη ἐποίησε δι' αὐτοῦ τοὺς αἰῶνας. Ἱερ. α. ι.

τί οὖν; οὐχὶ ὁ υἱὸς δι' αὐτοῦ γεγένηται; ναί. ἀλλ' οὐχ ὡς σὺ λέγεις, ὑφ' ὡς ὑπουργοῦ, ὡς δι' ὀργάνου· οὐδὲ ὡς οὐκ ἂν πιστεύσαιμι, εἰ μὴ χεὶρ αὐτῷ ὤρεξεν ὁ πατήρ. ὥσπερ γὰρ οὐδὲν κρίνει ἐκεῖνος, ἀλλὰ πᾶσαν κρίσιν τῷ υἱῷ, οὐκ κεκώλυκεν αὐτὸν ἐνεργῆσαι· οὕτω καὶ δημιουργῆσαι δι' αὐτοῦ, οὐκ δημιουργὸν αὐτὸν ἐνόμισεν. εἰ γὰρ αὐτοῦ ἄμοιρος ὁ πατήρ, πολλῷ μᾶλλον τῶν δι' αὐτοῦ γεγονότων. ὅταν οὖν οὕτω βλέπωμεν δόξαν οὐκὸς αὐτοῦ, ἀναγκαίως καὶ τὰ πάθη φθέγξεται. ὅταν

γρ. ἢ ὅτι θεὸς ἔστι τοῦ πατρὸς τὰ ὑψηλὰ φθέγγεται· ἢ ὅτι λαὸν Μαρκέλλου μιᾶς φησὶ, τὸν ἀμφοτέρων καλοῦσι φεύγειν.

ὑψηλά τινα βλέπωμεν φθεγγόμενον, λαβὼν Μαρκέλλος ἡνιοχήσει, καὶ Σαβέλλιος. ἀλλ' ἀμφοτέρων τούτων ἀμείνων φυγεῖν· μέσην ὁδὸν ὁδεύσωμεν ὁδόν. οὔτε γὰρ ὅτι τῆς ταπεινότητος ἐμνήσθη, ἵνα μὴ Παῦλος ὁ Σαμοσατεὺς λάβῃ χόρτον, οὔτε αὖ τοῖς ὑψηλοῖς εἰς ἀπορίαν ἐμβάλωμεν. καὶ δίκαιον αὐτὸν πάλιν τὴν ἰσχὺν τὴν πολλὴν, ἵνα μὴ Σαβέλλιος ὑποπτεύσῃ. εἶπεν γάρ, καὶ βιάζεσθαι ἐφθέγξατο Παῦλος ὁ Σαμοσατεύς, λέγων αὐτὸν εἷς θεὸν ὡς τοὺς πολλούς. ἀλλ' ἔδωκεν αὐτῷ κληρονομίαν πάντων, εἶπεν κληρονόμον. ἀλλ' ἕλκε δυσχερῶς καὶ Ἀρειανέ. ὃ γὰρ, ἔθηκεν αὐτὸν κληρονόμον, ἀμφοτέροις κατέχρησεν· ἁπλοῦς μὲν ἀνθρώπους λέγων εἶναι, οὐδὲ ὑποπτεύειν ὑποχρεοῖ τὸν ἐξῆς. εἶπεν γὰρ Παῦλος, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἔδωκεν αὐτῷ καὶ δυσχερῶς τοῦτο Σαμοσατέα. ὁ δὲ Ἀρειος ἐπὶ ἰσχυρὸς εἶναι δοκεῖ. ἀλλ' ὅμως καὶ τοῦτον ὡς καταβάλωμεν πάλιν εἶπεν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης αὐτοῦ. ἀλλ' ἰδοὺ πάλιν ὑπὸ Σαβέλλιος, καὶ Μαρκελλος, καὶ Φωτεινός. ἀλλ' ἀκούσεις πᾶσι μίαν πληγὴν δίδωσιν, εἶπεν, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, [φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ]. σὺ δὲ πάλιν ἐκ Μαρκίωνα πλήττεις· οὐ σφόδρα μὲν ἰσχυρῶς, πλήττει δὲ οὖν ὅμως. δι' ὅλης γὰρ τῆς ἐπιστολῆς πρὸς αὐτὸν μάχεται. ἀλλ' ὅταν ἔφῃς, ἀπαύγασμα τῆς δόξης εἶρηκε καὶ υἱόν. καὶ δὴ καλῶς, ἄκουε τοῦ Χριστοῦ λέγοντος πρὸς αὐτὸν, Ἐγὼ εἰμὶ τὸ φῶς τοῦ κόσμου. Ἀφ' οὗ οὖν ἀπαύγασμα εἶπεν αὐτὸς, ἵνα δείξῃ ὅτι κακῶς ἔστω εἶρηται· δηλονότι, ὡς φῶς ἐκ φωτός. ὑπὸ τοῦτο μέντοι δείκνυται, ἀλλ' ὅτι ἐκ ἐφώνησε ταῦτα μετέρας ψυχάς. Ἀφ' οὗ τοῦ ἀπαυγάσματος τὸ ἴσον ἐσήμανε τῆς οὐσίας, καὶ τὸν πρὸς τὸν πατέρα ἰσότητα. σύνισον· τὸν λεπτότατον τῶν εἰρημένων οὐσίαν μέν ἐλαβε καὶ ὑπόστασιν εἰς δύο ὑποστάσεων διέξεσιν. ὃ καὶ δηλοῖ τῆς γνώσεως τοῦ πνεύματος ποιᾷ. ὥσπερ γὰρ μέν φησι τὸν γνῶσιν τὸν τοῦ πατρὸς καὶ τοῦ πνεύματος, ὡς οὕτως μέν, καὶ οὐδὲν πρὸς ἑαυτὸν διεκρίνῃ· οὕτω καὶ σὺ ταῦτα ἐκ τοῦ ἑνὸς ὄντος ἐπιλάβετο ῥήματος εἰς τὸν τῶν δύο ὑποστάσεων δήλωσιν. εἶτα ἐπήγαγεν ὅλη ὃ καὶ χαρακτήρ. "ὁ γὰρ χαρακτὴρ, ἄλλος ἐστὶ καὶ ὁ χαρακτήριστος· ἄλλος γὰρ οὐ πάντη, ἀλλὰ καὶ τὸ σὺν πᾶσαν εἶναι." ἐπεὶ καὶ ἐν ταῦτα ὁ χαρακτὴρ ὃ ἀπαράλλακτον δηλοῖ ὅτι χαρακτὴρ, ὃ ὅμοιον καὶ πάντα. ὅταν οὖν καὶ μορφὴν ἀὸν καλὴν, καὶ χαρακτῆρα, τί ἐρεῖσι; ἀλλὰ καὶ εἰκὼν ὁ ἀόρατος, φησι. τί οὖν; οὕτως ὡς ὁ υἱός; οὐ, φησι, ἀλλ' ὅτι εἰκὼν οὐ δείκνυσι τὸ ὅμοιον. καίτοιγε καθ' ὃ εἶρηται ὁ ἀόρατος εἰκών, δείκνυσι τὸ ὅμοιον ὡς τὸ ἀόρατον. ὅπερ γὰρ ἔστιν ὁ Θεὸς τὸ ᾧ οὐρανῷ, τοῦτο ὁ ἀόρατος ὅτι τῇ γῇ, καὶ τὸν ἀέρα λέγω. καὶ ὥσπερ τὴν ὅτι γῆς πάντων ἔστι κρατῆς, οὕτω καὶ ὁ Θεὸς πάντων κρατεῖ τὸν τὸ [τῷ] οὐρανῷ καὶ [τὴν] ὅτι [τῆς] γῆς. ἄλλως δὲ, ὁ ἀόρατος οὐκ εἶρηται χαρακτὴρ, οὐκ εἶρηται ἀπαύγασμα, οὐκ εἶρηται μορφὴ· ὅπερ τὸν οὐσίαν ἐμφαίνει, ἢ καὶ ὁμοιότητα τὸν κατ' οὐσίαν. ὥσπερ οὖν ἡ μορφὴ τοῦ δούλου οὐδὲν ἄλλο ἐμφαίνει ἢ τὸν ἀόρατον ἀπαράλλακτον· οὕτως ἡ μορφὴ τοῦ Θεοῦ οὐδὲν ἄλλο ἐμφαίνει, ἢ Θεόν. ὃς ὢν ἀπαύγασμα, φησι, τῆς δόξης. ὅσα καὶ Παῦλος πεποίηκε, καὶ πάλιν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, ἐπήγαγε πάλιν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, "ὁμοίως οἷοις

ἰωάν. α. ιβ.

φιλιπ. β. ζ.

κ. ὅσα οἷοις ἐνόμισε κίχρηται,

ιτοῦμεν, οὐ φεύσαι δυνάμεθα· ἃ πολλὰ μὲν φεύζομεν, ἰσῶσι δὲ οὐκ ἰσόμεθα. οἷόν τι λέγω· ὅτι πάντα τοῦ μὴ ὄντος ἐστὶν ὁ Θεός, ἴσμεν· πῶς δέ, οὐκέτι νοοῦμεν. ὅτι ὅσῃ τῆς ἀσωμάτου δυνάμεως, πάντων ἐστὶ πάντα τὰ ἀγαθά, ἴσμεν· πῶς δέ ἐστιν, ἢ τίς ἐστιν, οὐκ ἴσμεν. ἰδοὺ φεύζομεν, καὶ οὐ νοοῦμεν. Εἶπον ὅτι πάντων ὁ θεός ἐστιν, ἀλλ' οὐσιῶν. [Εἶπον ὅτι ἀπάρχης ἐστὶν, ἀλλ' οὐ ποιᾷ.] Εἶπον ὅτι ἐγέννησεν ὄξ ἑαυτοῦ, καὶ οὐκ οἶδα πῶς πάλιν ποιῶ. ἔστι δέ τινα, ἃ μηδὲ φράσαι ἔνι. οἷόν τι λέγω· ποιᾷ ἡ ἀγένητος, ἀλλ' εἰπεῖν οὐ δύναται· καὶ ἵνα εἰδῆς καὶ Παύλου ἀθετοῦντα, ἐὰν μὴ τοὺς ἀκριβεστάτους τὰ ὑποδείγματα λέγοντα, καὶ φείξῃς, καὶ μηδὲν περιττὸν ζητήσῃς, ἄκουε. Εἶπεν γὰρ ὁμοίως, καὶ θεὸς δημιουργὸν, τὴν ἐπάγλ; ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. τοῦτο * μετ' ἀληθείας ἐκλαμβάνει δῆ, καὶ ἐὰ ἄτοπα ἐφεύρομεν. ἀπαύγασμα τῆς δόξης, φησίν. ἀλλ' ὅρα τοῦτο πῶς ἐκλαμβάνει, καὶ ὅτω καὶ ἀῶς δίχου· ὅτι δὲ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος, οὐδὲ ἐλαττωθέντος· ἐπειδή εἰσί τινες ἄτοπά τινα ἐκ τῶν ὑποδειγμάτων ἐκλαμβάνοντες. ὃ γὰρ ἀπαύγασμά, φασι, σὺν ὑποστάσει οὐκ ἔστιν, ἀλλ' ἐν ἑτέρῳ ἔχει τὸ εἶ). μὴ τοίνυν ἐκλάβῃς, ἀλλ' ἄκουσον, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ ποιήσῃς τὴν νόσον. ἐγγύθεν γάρ σε περιπατεῖ, ὥστε μὴ εἰς ἐκείνην ἐμπεσεῖν σε τὴν δεινήν, οὐδὲ ἀφεῖναί σε εἰς τὸ ὀλέθριον ἐκεῖνο νόσημα καταπεσεῖν. τί δέ φησι; καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. δηλοῖ δῆλον ὅτι ἑπόμενος ἐστὶν ὁ πατὴρ ὑποστάσει, καὶ τρεῖς ὑποστάσεις δεσπόζει. ὅτω καὶ ὁ υἱός. εἰ ζῶσα γὰρ ὁ ἀπαύγασμά τινα δηλοῖ τοῦτο φησι, καὶ τοὺς (ν) ἰδίᾳ ζόντα χαρακτῆρα τὸ τοιοῦτον προσαπεμπωσε, καὶ διδάσκων ὡς ἐν ὑποστάσει ὄντι καθ' ἑαυτόν. Εἶπων ὁμοίως, ὅτι δι' αὐτοῦ ἐποίησε ὁ Θεὸς τὰ πάντα, ἐν ζῶσι δίδωσι αὐτῷ τὴν αὐθεντίαν. ἢ γὰρ ἐπάγλ; φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· ἵνα ἐκ τούτου μὴ μάθοι (ν) χαρακτῆρα τῆς ὑποστάσεως ἐκλάβωμεν, ἀλλὰ καὶ ὃ μὴ ἀγενησίας ἄτοπόν ζα κινδυνεύει. ὅρα τοίνυν πῶς, ὅταν ὄντι ἴδῃ τὸ παῖδας, τοῦτο προσαπτῶν τοῦ υἱῷ. ἐπὶ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, φέρων τὰ πάντα, οὐδὲ εἶπε, τῇ δυνάμει αὐτοῦ, ἀλλὰ τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὥσπερ γὰρ προσῆκεν [ἡμῖν] δύνασθαι μικρὸν καὶ κατανεῦσαι· ὅτω καὶ νῶι, καθάπερ ἀπὸ πηδῆς βαθμοῦ, ἀναβαίνει εἰς ὕψος, εἶτα πάλιν καταβαίνει, καὶ φησι, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. ὅρα πῶς ἐν ζῶσι δύο τίμια ὁδοῦς. βούλεται γὰρ ἡμᾶς ἀπαγαγεῖν τῆς Σαβελλίου καὶ Ἀρείου κακοτομίας, τὸν μὲν ὑπεροπτεῖν τῆς ὑποστάσεως αἱρετικῶς, τὸν δὲ τὴν μίαν φύσιν εἰς δυσσέβειαν καταπίπτοντας, ἐκ περισσίας ἀμφότερα καθαίρει. πῶς οὖν τοῦτο ποιεῖ; δύο ζὰ κατὰ ζὰ αὐτὰ γραφὴ καὶ φθέγγεται, ὥστε μὴ νομιοθῆναι αὖθις ἀπάρχοι, μηδὲ ἀλλότριοι τοῦ Θεοῦ. καὶ μὴ ξενισθῆς (ν) λέγων, ἀγαπητέ. εἰ γὰρ ζὰ μὴ τοσαύτην ἀπόδειξιν εἰσί τινες (ν) ἀλλότριοι αὖθις εἶ) φήσαντες, καὶ ἕτεροι αὐτῶ δόντες πατέρα, ζὰ τούτῳ πολεμῆν αὖθις λέγοντες· εἰ μὴ ζαῦτα εἶπε, τί οὐκ ἂν ἐφθέγξατο; "ὅταν οὖν περιπατῆσι αἰανγκάζῃ), τότε αἰανγκάζεται καὶ τὰ ταπεινὰ φθέγγεσθαι· οἷ ὅτι ἔθηκέ, φησιν, αὖθις κληρονόμον πάντων, ζὰ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν. εἶ ζα ἵνα μὴ ἑτέρως λυμήνηται, ἀπὸ τῶν λόγων τῆς ζαπεινότητος εἰς αὖθις πάλιν αὐτὸν ἀνάγῃ, καὶ δείκνυσιν ὁμότιμον ὄντα τῷ πατρί, καὶ ὅτως ὁμοῦμον, ὡς πολλοὺς ποιῆσαι (ν) αὖθις εἶ) πατέρα. καὶ ζέα τὴν σωτηρίαν αὐτοῦ τὴν πολλήν· περίεργον ἐκβιάσῃ πάθος, καὶ ἀσφαλίζεται αὖθις μὴ ἀκρίσεως. καὶ ὅταν τοῦτο ἀκούσῃς, ὅτι τοῦ Θεοῦ ἐστιν υἱός, καὶ ὅτι οὐκ ἄν ὑστερος αὐτοῦ, μὴ "ἀδείας λοιπὸν ἅπαντα, ὅσα βούλεται), φθέγγεται τὰ ὑψηλά. ὅταν γὰρ ὃ μέγα τι σοὶ αὐτοῦ εἰπεῖν εἰς ἐκείνην τὴν ἔποιαν πολλοὺς ἤγαγε, περίεργος εἶ τὰ ταπεινά, μὴ ἀσφαλείας τόπον εἰς ὕψος αἴρεται ὅσον βούλεται. καὶ εἰπών, ὅτι ἔθηκε κληρονόμον πάντων, ζὰ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησε, τότε ἐπάγλ, φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁ γὰρ ῥήματι μόνῳ ζὰ πάντα ζαχυβερνῶν, οὐκ ἂν δυνηθείη ὑ-

νὸς

χ. πάντα

χ. τῶν αἰῶνων καὶ ἀσεβειῶν

σκότους καὶ ὀδυνῶν τοσούτων ὧν καὶ ἐμπαρησμοί; διὸ δίομαι τοῦτο ἀμφοτέρους τρέφειν πρὸς ἑαυτοὺς, καὶ τῆς ἀπὸ τοῦ ῥήματος λύπης διαίρεσθαι, ἵνα μὴ τῶν διὰ τοῦ σταυροῦ πόνων μείζονα λιμώττωμεν. πόνους γὰρ τοῦτο πόντα ἔσται, καὶ τοῦ ἄξια προσδοκᾶν τοῦ ἐκ χολαστηρίων τοιούτοις ἐξαιρόντα, οὐ πατὴρ, οὐ μήτηρ, οὐκ ἀδελφός, καὶ πολλοῦ παρρησίαν εἶχεν, καὶ μεγάλα ἰσχύει πρὸς Θεόν. Ἀδελφὸς γὰρ οὐ λυτροῦται, φησὶ· λυτρώσεται ἄνθρωπος; οὐδὲ γὰρ ἔστιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ἀπὸ τούτου καὶ σωθῆναι ἔνι, καὶ χολασθῆναι. Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. Οὐκοῦν ἀνακύπτωμεν (διαπονηρὰ γάρ ἐστιν ἡ τολμη) καὶ τὰ πρὸς τὸν πλοῦτον εἰς τοὺς δεομένους σκορπίσωμεν. ἐργασώμεθα ἐλεημοσύνην, ἕως ἐσμὲν κύριοι. τοῦτο γάρ ἐστι τὸ, φίλους ποιῆσαι ἐκ τοῦ μαμωνᾶ. κατώσωμεν τὰ χρήματα εἰς τοὺς πένητας, ἵνα κατώσωμεν ἐκεῖσε τὸ πῦρ, ἵνα σβέσωμεν αὐτὸ, ἵνα ἔχωμεν παῤῥησίαν ἐκεῖ. καὶ γὰρ ἐκεῖ οὐκ εἰσὶ τὰ δεσμοῦντα ἡμᾶς, ἀλλὰ τὸ ἔργον τὸ ἡμέτερον. ὅτι γὰρ οὐχ ἁπλῶς τὸ φίλους ἡμῖν τούτους ποιῆσαι δύναται, ἔνι τοῦτο μαθεῖν ἀπὸ τῆς παραβολῆς. Λάζαρον γὰρ οὐκ εἶπε, ποιήσατε ὑμῖν φίλους, ἵνα δέξωνται ὑμᾶς εἰς τοὺς αἰωνίους ἐκείνους σκηνάς, ἀλλὰ πρόσεστι καὶ τοῦτο· εἶπε γὰρ, ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἐδήλωσεν ὅτι ἀπὸ τῶν χρημάτων πρόσεστι ποιῆσαι τούτους φίλους, δηλονότι ὅτι οὐχ ἁπλῶς πρόσεστιν ἡμῖν φιλία, ἐὰν μὴ ἔργα ἔχωμεν ἀγαθὰ, ἐὰν μὴ ἀδίκως συλλεγόμενα πλουτῶμεν δικαίως κατώσωμεν. τοῦτ' ἦν ὁ λέγων ἡμῖν ὁ τῆς ἐλεημοσύνης οὐ πρὸς τοὺς πλουσίους μόνον ἁρμόσει, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. καὶ ἡ ὃς ἐκ τοῦ προσαιτοῦντος ἐστὶ φόμβος, καὶ πρὸς αὐτόν ἐστιν ὁ λόγος τοῦτο. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτως πένης, καὶ σφόδρα πένης ἦ, ὡς δύο λεπτῶν μὴ δύνασθαι. ἔνεστι γοῦν καὶ ἐκ ὀλίγων ὀλίγα δοῦναι, καὶ πολλοὺς κεκτημένους ὑπερβάλλεσθαι πλείονα διδόντας· καθάπερ καὶ ἐκεῖνη ἡ χήρα. οὐ γὰρ τῷ μέτρῳ τὴν διδομένην, ἀλλὰ τῇ διαθέσει καὶ τῇ προαιρέσει τὴν δοθεῖσαν κρίνεται τῆς ἐλεημοσύνης τὸ μέγεθος. ὥστε πένητας προαιρέσεως ἡμῖν δεῖ, πένητας τῆς πρὸς Θεὸν ἀγάπης. ἐὰν μὲν ταύτης ἄπορα προσῶμεν, καὶ μικρὰ ἔχοντες μικρὰ δῶμεν, οὐκ ἀποστρέφεται ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ἀλλὰ δέχεται ὡς μεγάλα θαυμαστά. τῇ γὰρ προαιρέσει, οὐ τοῖς δεδομένοις προσέχει. καὶ ἐκείνῳ ἴδῃ μεγάλην οὖσαν, ταύτῃ πάντας ἕλκει φῆφος ἡ κρίσις, καὶ τῶν αἰωνίων ἀγαθῶν ποιεῖ μετόχους· ὧν γένοιτο πάντας ἡμᾶς ὑπάρξαι, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. β. 3 ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν.

Ἀναγκαῖον μὲν βλασφημίας ἁφαιρεῖσθαι, μάλιστα ἡνίκα ὅταν περὶ Θεοῦ λέγωμέν τι καὶ ἀκούωμεν. οὔτε γὰρ γλῶσσαν εἰπεῖν, οὔτε ὦς ἀκοῦσαι πρὸς ἄξιόν τοῦ Θεοῦ τι δύναται. καὶ τί λέγω γλῶσσαν καὶ ὦτα; οὐδὲ γὰρ ὀνοίς ὁ πολὺν τύπον ἐπιφέρων, δύναιτό τι περιλαβεῖν ἀκριβῶς, ὅταν περὶ Θεοῦ τι φθέγγεσθαι βουλώμεθα. Εἰ γὰρ ἡ εἰρήνη τοῦ Θεοῦ ὑπερέχει πάντα νοῦν, καὶ τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτὸν ὅτι καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· πολλῷ μᾶλλον αὐτὸς ὁ τῆς εἰρήνης Θεὸς, ὁ τῶν ἁπάντων δημιουργὸς, ὑπερβαίνει πολλῷ τῷ μέτρῳ τὸν ἡμέτερον λογισμόν. διὰ τοίνυν τοῦτο πίστεως καὶ βλασφημίας ἅπαντα δίχεσθαι· καὶ ὅταν ὁ λόγος ἀδιάθετον, καὶ μὴ δύνηται παραστῆσαι τὰ λεγόμενα τῆς ἀκριβείας, τότε μάλιστα δοξάζειν τὸν Θεὸν, ὅτι Θεὸν τοιοῦτον ἔχομεν, καὶ τοῖς ἀδύνατοις ἡμῶν καὶ τὸν λόγον ὑπερβαίνοντα. πολλὰ γὰρ ὧν περὶ Θεοῦ τοιοῦτον,

